# ΙΚΕΤΙΔΕΣ.

ΧΟΡΟΣ.

ΖΕΥΣ μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάϊον, ἀρθέντ᾽
ἀπὸ προστομίων *τῶν λεπτοβαθῶν
Νείλου. Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν᾽ ἐφ᾽ αἵματι *δημηλασίαν
ψήφῳ πόλεως γνωσθεῖσαι,
ἀλλ᾽ αὐτογενῆ τὸν φυξάνορα
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ᾽
ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ, καὶ βούλαρχος,
καὶ στασίαρχος, τάδε πεσσονομῶν,
κύδιστ᾽ ἀχέων ἐπέκρανεν,
φεύγειν ἀνέδην διὰ *κῦμ᾽ ἅλιον,
κέλσαι δ᾽ Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον, τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς, κἀξ ἐπιπνοίας
Διὸς, εὐχόμενον τετέλεσται.

1. *ἀφίκτωρ*, de ipsis supplicibus, v. 238.

3. *τῶν* a codd. abest, metri causa supplendum, nisi malis cum Wellau. *λεπτοψαμάθων*.

6. Vulgo *δημηλασίᾳ*, *ι* in *οὔτινι* male eliso. Emendavit Tyrwhittus, ut sit *κατὰ οὔτινα δημηλασίαν*.

14. Ita Canter. pro *κυμβαλέον*.